58 [58]Καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον εἰς τὸν οὐ-
ρανὸν ἐναντίον Ιερουσαλημ εὐλόγησεν τῷ βασιλεῖ τοῦ οὐρανοῦ
59 λέγων [59]Παρὰ σοῦ ἡ νίκη, καὶ παρὰ σοῦ ἡ σοφία, καὶ σὴ ἡ δόξα,
60 καὶ ἐγὼ σὸς οἰκέτης. [60]εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν· καὶ
61 σοὶ ὁμολογῶ, δέσποτα τῶν πατέρων. [61]καὶ ἔλαβεν τὰς ἐπιστολὰς
καὶ ἐξῆλθεν εἰς Βαβυλῶνα καὶ ἀπήγγειλεν τοῖς ἀδελφοῖς αὐτοῦ
62 πᾶσιν. [62]καὶ εὐλόγησαν τὸν θεὸν τῶν πατέρων αὐτῶν, ὅτι ἔδωκεν
63 αὐτοῖς ἄνεσιν καὶ ἄφεσιν [63]ἀναβῆναι καὶ οἰκοδομῆσαι Ιερουσαλημ
καὶ τὸ ἱερόν, οὗ ὠνομάσθη τὸ ὄνομα αὐτοῦ ἐπ' αὐτῷ, καὶ ἐκω-
θωνίζοντο μετὰ μουσικῶν καὶ χαρᾶς ἡμέρας ἑπτά.
5 [1]Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκου πατριῶν
κατὰ φυλὰς αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ καὶ αἱ θυγα-
τέρες καὶ οἱ παῖδες αὐτῶν καὶ αἱ παιδίσκαι καὶ τὰ κτήνη αὐτῶν.
2 [2]καὶ Δαρεῖος συναπέστειλεν μετ' αὐτῶν ἱππεῖς χιλίους ἕως τοῦ
ἀποκαταστῆσαι αὐτοὺς εἰς Ιερουσαλημ μετ' εἰρήνης καὶ μετὰ μου-
3 σικῶν, τυμπάνων καὶ αὐλῶν· [3]καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παί-
ζοντες, καὶ ἐποίησεν αὐτοὺς συναναβῆναι μετ' ἐκείνων.
4 [4]Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ
5 πατριὰς αὐτῶν εἰς τὰς φυλὰς ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν. [5]οἱ ἱε-
ρεῖς υἱοὶ Φινεες υἱοῦ Ααρων· Ἰησοῦς ὁ τοῦ Ιωσεδεκ τοῦ Σαραιου
καὶ Ιωακιμ ὁ τοῦ Ζοροβαβελ τοῦ Σαλαθιηλ ἐκ τοῦ οἴκου τοῦ
6 Δαυιδ ἐκ τῆς γενεᾶς Φαρες, φυλῆς δὲ Ιουδα, [6]ὃς ἐλάλησεν ἐπὶ
Δαρείου τοῦ βασιλέως Περσῶν λόγους σοφοὺς ἐν τῷ δευτέρῳ
7 ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ Νισαν τοῦ πρώτου μηνός. — [7]εἰσὶν
δὲ οὗτοι ἐκ τῆς Ιουδαίας οἱ ἀναβάντες ἐκ τῆς αἰχμαλωσίας τῆς
παροικίας, οὓς μετῴκισεν Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος
8 εἰς Βαβυλῶνα [8]καὶ ἐπέστρεψαν εἰς Ιερουσαλημ καὶ τὴν λοιπὴν
Ιουδαίαν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν, οἱ ἐλθόντες μετὰ Ζοροβαβελ
καὶ Ἰησοῦ, Νεεμιου, Ζαραιου, Ρησαιου, Ενηνιος, Μαρδοχαιου, Βεελ-
σαρου, Ασφαρασου, Βορολιου, Ροϊμου, Βαανα τῶν προηγουμένων
9 αὐτῶν. [9]ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους καὶ οἱ προηγούμενοι αὐτῶν·
10 υἱοὶ Φορος δύο χιλιάδες καὶ ἑκατὸν ἑβδομήκοντα δύο. [10]υἱοὶ Σαφατ
τετρακόσιοι ἑβδομήκοντα δύο. υἱοὶ Αρεε ἑπτακόσιοι πεντήκοντα ἕξ.
11 [11]υἱοὶ Φααθμωαβ εἰς τοὺς υἱοὺς Ἰησοῦ καὶ Ιωαβ δισχίλιοι ὀκτα-

59 η 1⁰ > B† | ση] σου A
5 (ad 7—71 cf. Esdr. II 2—4 5 4 24; cf. etiam II 17 6—73) 1 οικου] -κων A | θυγατ. et παιδισκαι BL†] + αυτων rel. || 3 αυτους] -τοις B† || 5 υιοι] pr. οι A | υιου compl.] υιοι BA || 7 ουτοι] + οι B || 8 επεστρεψεν B*: cf. II 2 1 17 6 | ιησους A† | ενηνιος] -νιου A(†) | βορολ(ε)ιου B†] ρεελιου rel. | ρο(ε)ιμου] ρομελιου A† || 9 και εκατον — 10 δυο > B*†, sed ante 9 δυο χιλ. add. B† εβδομηκοντα || 10 τετρακοσιοι] τριακ. LBs† | αρεε Be.] αρες mss. || 11 φααθμωαβ εις τους υιους] φθαλειμωαβεις του υιου B† | ιωαβ] ροβοαβ B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/936 UNIVERSITÄT LEIPZIG